eul_wid: qya-ad

*Κλήμης ὁ Ἀλεξανδρεύς* · Clement of Alexandria

# Hymn of Christ the Savior

*Ὕμνος Χριστοῦ τοῦ Σωτῆρος*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ Χριστιανική* Christian Koine
**Domain:** *Θεολογία* Theology
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Christian

ΥΜΝΟΣ ΤΟΥ ΣΩΤΗΡΟΣ ΧΡΙΣΤΟΥ ΤΟΥ ΑΓΙΟΥ ΚΛΗΜΕΝΤΟΣ Στόμιον πώλων ἀδαῶν, πτερὸν ὀρνίθων ἀπλανῶν, οἴαξ νηῶν ἀτρεκής, ποιμὴν ἀρνῶν βασιλικῶν· τοὺς σοὺς ἀφελεῖς παῖδας ἄγειρον, αἰνεῖν ἁγίως, ὑμνεῖν ἀδόλως ἀκάκοις στόμασιν παίδων ἡγήτορα Χριστόν. Βασιλεῦ ἁγίων, λόγε πανδαμάτωρ πατρὸς ὑψίστου, σοφίας πρύτανι, στήριγμα πόνων αἰωνοχαρές, βροτέας γενεᾶς σῶτερ Ἰησοῦ, ποιμήν, ἀροτήρ, οἴαξ, στόμιον, πτερὸν οὐράνιον παναγοῦς ποίμνης, ἁλιεῦ μερόπων τῶν σῳζομένων πελάγους κακίας, ἰχθῦς ἁγνοὺς κύματος ἐχθροῦ γλυκερῇ ζωῇ δελεάζων. Προβάτων λογικῶν ποιμὴν ἅγιε, ἡγοῦ, βασιλεῦ παίδων ἀνεπάφων· ἴχνια Χριστοῦ ὁδὸς οὐρανία.

Λόγος ἀέναος, αἰὼν ἄπλετος, φῶς ἀίδιον, ἐλέους πηγή, ῥεκτὴρ ἀρετῆς σεμνῇ βιοτῇ θεὸν ὑμνούντων. Χριστὲ Ἰησοῦ, γάλα οὐράνιον μαστῶν γλυκερῶν νύμφης χαρίτων σοφίας τῆς σῆς, ἐκθλιβόμενον. Οἱ νηπίαχοι ἀταλοῖς στόμασιν ἀτιταλλόμενοι, θηλῆς λογικῆς πνεύματι δροσερῷ ἐμπιμπλάμενοι, αἴνους ἀφελεῖς, ὕμνους ἀτρεκεῖς βασιλεῖ Χριστῷ, μισθοὺς ὁσίους ζωῆς διδαχῆς, μέλπωμεν ὁμοῦ.

Πέμπωμεν ἁπλῶς παῖδα κρατερόν, χορὸς εἰρήνης οἱ χριστόγονοι, λαὸς σώφρων, ψάλλωμεν ὁμοῦ θεὸν εἰρήνης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org